πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο·
ὅμως δ᾽ ἐμαυτὴν οὐ προδοῦσ᾽ ἁλώσομαι.
εἴπ᾽, ὦ νεᾶνι, τῷ σ᾽ ἐχεγγύῳ λόγῳ
πεισθεῖσ᾽ ἀπωθῶ γνησίων νυμφευμάτων;
ὡς ἡ Λάκαινα τῶν Φρυγῶν μείων πόλις,
τύχη θ᾽ ὑπερθεῖ, καί μ᾽ ἐλευθέραν ὁρᾷς;
ἢ τῷ νέῳ τε καὶ σφριγῶντι σώματι
πόλεως τε μεγέθει καὶ φίλοις ἐπηρμένη
οἶκον κατασχεῖν τὸν σὸν ἀντὶ σοῦ θέλω;
πότερον ἵν᾽ αὐτὴ παῖδας ἀντὶ σοῦ τέκω
δούλους, ἐμαυτῇ τ᾽ ἀθλίαν ἐφολκίδα;
ἢ τοὺς ἐμούς τις παῖδας ἐξανέξεται
Φθίας τυράννους ὄντας, ἢν σὺ μὴ τέκῃς;
φιλοῦσι γάρ μ᾽ Ἕλληνες Ἕκτορός τ᾽ ἄπο,
αὐτή τ᾽ ἀμαυρὰ κοὐ τύραννος ἦν Φρυγῶν.
οὐκ ἐξ ἐμῶν σε φαρμάκων στυγεῖ πόσις,
ἀλλ᾽ εἰ ξυνεῖναι μὴ ᾽πιτηδεία κυρεῖς.
φίλτρον δὲ καὶ τόδ᾽· οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ᾽ ἁρεταὶ τέρπουσι τοὺς ξυνευνέτας.
σὺ δ᾽ ἤν τι κνισθῇς, ἡ Λάκαινα μὲν πόλις
μέγ᾽ ἐστί, τὴν δὲ Σκῦρον οὐδαμοῦ τίθης,
πλουτεῖς δ᾽ ἐν οὐ πλουτοῦσι, Μενέλεως δέ σοι
μείζων Ἀχιλλέως. ταῦτά τοί σ᾽ ἔχθει πόσις.
χρὴ γὰρ γυναῖκα, κἂν κακῷ δοθῇ πόσει,
στέργειν, ἅμιλλάν τ᾽ οὐκ ἔχειν φρονήματος.
εἰ δ᾽ ἀμφὶ Θρῄκην χιόνι τὴν κατάῤῥυτον
τύραννον ἔσχες ἄνδρ᾽, ἵν᾽ ἐν μέρει λέχος
δίδωσι πολλαῖς εἷς ἀνὴρ κοινούμενος,
ἔκτεινας ἂν τάσδ᾽; εἶτ᾽ ἀπληστίαν λέχους
πάσαις γυναιξὶ προστιθεῖσ᾽ ἂν ηὑρέθης.
αἰσχρόν γε. καίτοι χεῖρον᾽ ἀρσένων νόσον
ταύτην νοσοῦμεν, ἀλλὰ προὔστημεν καλῶς.
ὦ φίλταθ᾽ Ἕκτορ, ἀλλ᾽ ἐγὼ τὴν σὴν χάριν
σοὶ καὶ ξυνήρων, εἴ τί σε σφάλλοι Κύπρις,
καὶ μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς
ἐπέσχον, ἵνα σοι μηδὲν ἐνδοίην πικρόν.
καὶ ταῦτα δρῶσα τῇ ἀρετῇ προσηγόμην